© www.astrothesaurus.gr

# Palchus Fragmenta astrologica

## Πάλχου· Περὶ τροπῶν τῶν δ´ καιρῶν

Εἰ βούλει γνῶναι τὰ μέλλοντα γίνεσθαι ἐπὶ ἡγεμόνων τε καὶ ἰδιωτῶν κατὰ τὸ ζητούμενον κλίμα, ψήφισον τὸν Ἥλιον, ὅτε εἰσέρχεται ἐν τῷ Κριῷ ἐν πρώτῳ λεπτῷ ἐν ποίᾳ ἡμέρᾳ καὶ ὥρᾳ, καὶ μετὰ τὸ στῆσαι αὐτὸν ἀκριβῶς ψήφισον τοὺς λοιποὺς ἀστέρας κατὰ τὴν αὐτὴν ὥραν καὶ τὴν Σελήνην καὶ τὸν Ἀναβιβάζοντα. καὶ μετὰ τὸ στῆσαι τὰς ἐποχὰς τῶν ἀστέρων ἀκριβῶς ψήφισον τὸν ὡροσκόπον κατὰ τὴν αὐτὴν ὥραν, ἐν ᾗ ὁ Ἥλιος τὴν ἰσημερίαν πεποίηται ἐν τῷ τοῦ Κριοῦ ζῳδίῳ, καὶ τὰ λοιπὰ κέντρα καὶ τὰς τούτων ἐπαναφορὰς καὶ τὰ τούτων ἀποκλίματα.

καὶ μετὰ τὸ στῆσαι τοὺς ιβ´ τόπους ἀκριβῶς ζήτει τὸν ἀφέτην ἐν τῷ ἀφετικῷ τόπῳ ἑστῶτα, καθὰ καὶ ἐν τῷ περὶ χρόνων διαιρέσεως εἴρηται, καὶ μετὰ τὸ εὑρεῖν τὸν ἀφέτην σκέπτου τὸν οἰκοδεσπότην αὐτοῦ· οὗτος γὰρ δηλοῖ τὰ μέλλοντα γίνεσθαι. εἶτα ἴδε τὸν ὡροσκόπον καὶ τὸν οἰκοδεσπότην αὐτοῦ, ἐν ποίῳ τόπῳ πέπτωκεν, ὁμοίως δὲ καὶ τὸν Ἥλιον ἐν ποίῳ τόπῳ ἐστὶ καὶ σκέπτου ἀμφοτέρους. ἐὰν μὲν οὖν εὕρῃς τὸν Ἥλιον ἐν τόπῳ κακῷ, τὸν δὲ κύριον τοῦ ὡροσκόπου ἐν καλῷ, τὸ μὲν ἔτος ἐκεῖνο καλὸν λέγε εἶναι τοῖς ὄχλοις, τῷ δὲ ἡγεμόνι κακόν. εἰ δὲ ὁ Ἥλιος καλῶς ἕστηκεν, ὁ δὲ κύριος τοῦ ὡροσκόπου κακῶς, τὸ ἐναντίον λέγε, ἤγουν τῷ μὲν ἡγεμόνι καλόν, τοῖς δὲ ὄχλοις κακόν.

εἶτα ἴδε τὸν κύριον τοῦ ἀφέτου τὸν εὑρισκόμενον πῶς ἔχει τὴν μαρτυρίαν πρὸς τὸν Ἥλιον καὶ τὸν ὡροσκόπον καὶ τὸν κύριον τοῦ ὡροσκόπου· καί, ἐὰν μὲν ἴδῃ τὸν Ἥλιον ἐν καλῷ τόπῳ ἑστῶτα, τὸν δὲ ὡροσκόπον καὶ τὸν κύριον αὐτοῦ ἐπιβλέψῃ ἐν κακῷ τόπῳ πεσόντα, κρεῖττον μὲν εἶναι τὸ ἔτος τοῖς ἄρχουσι, τοῖς δὲ ὄχλοις ἔλαττον.

εἶτα ἴδε τὸν κύριον τοῦ ἀφέτου, ἐν ποίῳ τόπῳ πέπτωκε καὶ τίς αὐτὸν ὑπεδέξατο καὶ τίς ἐπ’ αὐτὸν τὴν ἀκτῖνα ἐπέβαλε· ἐὰν ἀγαθοποιός, ἀγαθά, ἐὰν δὲ κακοποιός, φαῦλα εἶναι λέγε. ἐὰν μὲν οὖν ἐστιν ὁ κύριος τοῦ ἀφέτου ἀνατολικὸς ἢ ἐν τῷ ὑπὲρ γῆν ἡμισφαιρίῳ ἢ ἐν ζῳδίῳ φωνήεντι, τὰ σημαινόμενα παρ’ αὐτοῦ φανερὰ ἔσται· εἰ δὲ δυτικὸς ἢ ὕπαυγος ἢ ἐν τῷ ὑπὸ γῆν ἡμισφαιρίῳ, κρυπτῶς ἀποτελεῖ.

© www.astrothesaurus.gr

Κρόνος μετὰ Καταβιβάζοντος ἐν τῷ ὡροσκόπῳ εὑρισκόμενος τοῖς μὲν λαοῖς ἀγαθῶν δηλωτικός, τοῖς δὲ ἄρχουσι φαύλων. ἐὰν εὑρεθῇ κακοποιὸς ἐν τῷ β´ τόπῳ ἀπὸ ὡροσκόπου, περὶ βίον εἶναι τὴν κάκωσιν λέγε· ἐὰν δὲ ἐν τῷ γ´ τόπῳ περὶ ἀδελφούς, καὶ ἑξῆς ὁμοίως κατὰ τὴν δωδεκάτροπον ἐπιλογίζου. ἐὰν μὲν οὖν ὁ Ζεὺς ἢ ἡ Ἀφροδίτη μετὰ τοῦ Ἀναβιβάζοντος ἐν οἱῳδήποτε τόπῳ πέσωσι, καλῶν αἴτιοι τοῖς ἄρχουσι καθεστήκασι. καὶ μετὰ ταῦτα ἴδε τὴν φύσιν τοῦ ζῳδίου, ἐν ᾧ ὁ ἀστὴρ ὁ δηλῶν τὰ σημαινόμενα πέπτωκε, καὶ οὕτως ἀποφαίνου γίνεσθαι εἴτε κακὸν εἴτε ἀγαθόν.

ἐὰν οὖν ἐστιν ἀφέτης ὁ Ἄρης μετὰ Καταβιβάζοντος, πολέμων καὶ αἱματοχυσίας καὶ ἐμφυλίου πολέμου δηλωτικός ἐστιν ἐν τῇ χώρᾳ, ἐν ᾗ κεκλήρωται τὸ ζῴδιον, ὃ ἐπέχει ὁ Ἄρης· εἰ δὲ εὑρίσκεται ὁ Ἄρης ἐν τροπικῷ ζῳδίῳ, μετακινεῖσθαι τὸν ἄρχοντα ἀπὸ τόπου εἰς τόπον δηλοῖ. εἰ δὲ εὑρεθῇ ἄλλος ἀστὴρ τετραγωνίζων ἢ διαμετρῶν τὸν Ἥλιον καὶ μάλιστα ἐὰν παραιρετικὸς ᾖ <καὶ> κακοποιός, πόλεμον καὶ ἐπιβουλὰς σημαίνει.

Ἐὰν δὲ θέλῃς ἰδεῖν, τίς νικήσει, βλέπε τὸν Ἥλιον ποῦ ἕστηκε καὶ τὸν προειρημένον ἀστέρα, ἤγουν τὸν τετραγωνίζοντα ἢ τὸν διαμετροῦντα τὸν Ἥλιον, καὶ τοὺς οἰκοδεσπότας ἀμφοτέρων καὶ τὰς θέσεις τοῦ Ἡλίου καὶ τοῦ ἀστέρος. καὶ ἐὰν μὲν εὕρῃς τὸν ἀστέρα ἐν τῷ ὡροσκόπῳ ἢ τῷ μεσουρανήματι, τὸν δὲ Ἥλιον ἐν τῷ ζ´ ἢ ἐν τῷ ὑπὸ γῆν καὶ οἱ μὲν ἀγαθοποιοὶ ἐπαναφέρωνται τῷ Ἡλίῳ, οἱ δὲ κακοποιοὶ τῷ ἀστέρι, σημαίνει τὸν κύριον ὅτι δειλὸς καὶ ἀσθενής ἐστι διὰ τὸ κακῶς πεπτωκέναι αὐτόν· ὁ δὲ λαὸς αὐτοῦ δυνατὸς καὶ ἰσχυρὸς διὰ τὸ τοὺς ἀγαθοποιοὺς ἐπαναφέρεσθαι τῷ Ἡλίῳ. καὶ ὁ ἀνώτερος ἀστὴρ ἰσχυρὸς μέν ἐστι, διότι εὑρέθη ἐν τοῖς κέντροις, ἤγουν ἢ τῷ ὡροσκόπῳ ἢ τῷ μεσουρανήματι, ὁ δὲ λαὸς αὐτοῦ δειλὸς καὶ ἀσθενὴς διὰ τὸ ἐπαναφέρεσθαι αὐτῷ τοὺς κακοποιούς. εἰ δέ εἰσιν ἐν καλοῖς τόποις καὶ ὑπ’ ἀγαθοποιῶν μαρτυρούμενοι, ἀγαθὰ δηλοῦσιν· εἰ δὲ ἐν κακοῖς καὶ ὑπὸ κακοποιῶν, φαῦλα.

βλέπε δὲ καὶ τοὺς οἰκοδεσπότας ἀμφοτέρων καί, οἷον ἂν εὕρῃς ὑπὸ ἀγαθοποιῶν μαρτυρούμενον, ἐκεῖνον λέγε νικήσειν τὸν ἕτερον.

εἰ δὲ ὁ Ἄρης τετραγωνίσει τῷ Ἡλίῳ ἢ διαμετρήσει αὐτῷ, κακὸν τοῖς ἄρχουσιν· εἰ δὲ κατὰ τὰ αὐτὰ σχήματα ἐπιβλέψει τὸν ὡροσκόπον ἢ τὸν κύριον

© www.astrothesaurus.gr
αὐτοῦ, λέγε τὴν βλάβην εἶναι ἐπὶ τοῦ ὄχλου κατὰ τὸ κεκληρωμένον ζῴδιον τῷ κλίματι, οἷον, ἐὰν ἐν Κριῷ, Περσίδι, ἐὰν δὲ ἐν τῷ Λέοντι, ἐν τῇ Τουρκίᾳ, ἐν δὲ τῷ Σκορπίῳ, ἐν τῇ Συρίᾳ, ἐν δὲ τῷ Καρκίνῳ, ἐν τῇ Ῥωμανίᾳ, ἐν δὲ Ὑδροχόῳ, ἐν τῇ Ἰνδίᾳ.

εἰ δὲ ἀφετικὸς ἀστήρ ἐστιν ὁ Ἑρμῆς καὶ κακούμενος, λέγε τὴν βλάβην εἶναι ἐν τοῖς Ἑρμαικοῖς, ἤγουν ἐμπόροις ἢ γραμματικοῖς καὶ ὅσα τούτοις παραπλήσια.

ἡ δὲ Ἀφροδίτη ὁμοίως κακουμένη ἐν τῷ βίῳ τῶν ἀνθρώπων ποιεῖ τὴν κάκωσιν· καὶ μάλιστα, ἐὰν ἐν θηλυκῷ ζῳδίῳ ᾖ, ἐν ταῖς γυναιξὶν τὴν βλάβην ἔσεσθαι δηλοῖ· εἰ δέ ἐστιν ἐν ἡγεμονικῷ ζῳδίῳ, ἀρχοντικαῖς γυναιξί.

βλέπε δὲ τὸν η´ τόπον ἀπὸ Ἡλίου καί, ἐὰν εὑρεθῇ ὁ Ἄρης ἐκεῖ, πολέμου καὶ σφαγῆς καὶ ἀνασοβῶν δηλωτικός ἐστιν ἐν ἐκείνῳ τῷ τόπῳ, ἔνθα ἕστηκεν ὁ Ἄρης. ὁμοίως δὲ βλέπε τὸν η´ τόπον ἀπὸ Σελήνης καὶ οὕτως ἀποφαίνου, καθὰ προείρηται ἐπὶ Ἡλίου.

Εἰ δὲ θέλεις μαθεῖν σφαγὴν γίνεσθαι ἢ θάνατον, βλέπε τὸν Ἄρεα καὶ τίς ἐστι σὺν αὐτῷ τῶν ἀστέρων καὶ πόθεν ἐπιβλέπει αὐτόν· ἐὰν μὲν γὰρ ὁ Ζεὺς ἐπὶ ἀνθρωποειδεῖ ζῳδίῳ ὢν ἐπιβλέπῃ τὸν Ἄρεα, λέγε σφαγήν· εἰ δὲ ἀπὸ κτηνώδους ἢ θηριώδους ζῳδίου ἐπιβλέπει, λέγε εἶναι θάνατον καὶ οὐ σφαγήν. εἰ δὲ ὁ Κρόνος ἐκ τετραγώνου ἢ διαμέτρου ἐπιβλέπει τὸν Ἄρεα, λέγε θάνατον εἶναι καὶ οὐ σφαγήν· εἰ δὲ ὁ Κρόνος τριγωνίζει αὐτόν, πόλεμον καὶ σφαγὴν ἔσεσθαι δηλοῖ. εἰ δὲ τὸν θάνατον σημαίνει ὁ Ἄρης καὶ ἔστιν ἐν ἀρρενικῷ ζῳδίῳ, τοῖς ἀνδράσι τὸν θάνατον δηλοῖ· εἰ δὲ ἐν θηλυκῷ, ταῖς γυναιξί. τινὲς δὲ περὶ τούτου σκέπτονται τὴν Σελήνην καὶ τὸν κακοποιὸν τὸν ὄντα σὺν αὐτῇ ἢ ἐν τῷ η´ τόπῳ ἀπ’ αὐτῆς. καί, ἐὰν εὑρεθῇ Ἄρης, σφαγὴν δηλοῖ· εἰ δὲ Κρόνος, θάνατον· ἐὰν δὲ ὁ Ζεὺς μετὰ τοῦ Καταβιβάζοντος τύχῃ ἐν κακῷ τόπῳ μαρτυρούμενος ὑπὸ Ἄρεως, σφαγὴν δηλοῖ· εἰ δὲ Κρόνος αὐτὴν ἐπιβλέπει, θάνατον. σκόπει δὲ καὶ τὰς φύσεις τῶν ζῳδίων καὶ τῶν ἀστέρων καὶ οὕτως ἀποφαίνου κατὰ τὰ προειρημένα.

© www.astrothesaurus.gr

Εἰ δὲ θέλεις γνῶναι, πότε γίνεται τὸ ἀποτελούμενον, ἴδε τὴν Σελήνην καὶ τὸν κακοποιόν, ἐὰν ὦσιν ἐν τροπικῷ εἴτε κατὰ τετράγωνον ἢ διάμετρον ἢ σύνοδον· καὶ ὅσας ἂν μοίρας ἀπέχῃ ἀπ' αὐτῆς, ἐν τοσαύταις ἡμέραις· εἰ δὲ ἐν δισώμῳ, ἐν μησίν· εἰ δὲ ἐν στερεοῖς, ἔτεσιν.

***Ἄλλως.***

Ἴδε τὸν ὡροσκόπον καὶ τὸν κύριον αὐτοῦ, πόσας μοίρας ἀπέχει καί, ὅσας ἂν ἀπέχῃ, δὸς ἀναφορικῶς εἴτε ἡμέρας, εἴτε μῆνας, εἴτε ἔτη, καθὰ προείρηται· ἡμέρας μὲν ἀπὸ τῆς ὡροσκοπούσης μοίρας ἕως τῆς μοίρας τοῦ οἰκοδεσπότου αὐτῆς· νυκτὸς δὲ τὸ ἀνάπαλιν, ἤγουν ἀπὸ τοῦ οἰκοδεσπότου ἕως τῆς ὡροσκοπούσης μοίρας. τινὲς δὲ ἀριθμοῦσιν ἀπὸ τοῦ ὡροσκόπου ἕως τοῦ κυρίου αὐτοῦ ζῳδιακῶς, καί, ὅσα ἂν ζῴδια εὑρεθῶσι, τοσαύτας ἡμέρας ἢ μῆνας ἢ ἔτη λέγουσιν εἶναι. εἰ δὲ εὑρεθῇ ἐν τῷ μεταξὺ τοῦ ὡροσκόπου καὶ τοῦ οἰκοδεσπότου αὐτοῦ ζῴδιον δίσωμον, διπλὴν τὴν ἡμέραν ἢ τὸν μῆνα ἢ τὸ ἔτος λέγουσιν.